# Δημόκριτος Λεύκιππος

194

Αριστοτ.

«Πάντες δη τ' αναντία αρχάς ποιούσιν οί τε λέγοντες ότι εν το πάν και μη κινούμενον (και γαρ Παρμενίδης θερμόν και ψυχρόν αρχάς ποιεί, ταύτα δε προσαγορεύει πυρ και γην) και οι μανόν και πυκνόν, και Δημόκριτος το στερεόν και κενόν, ων το μεν ως ον, το δε ως ουκ ον είναι φησιν· έτι θέσει, σχήματι, τάξει. Ταύτα δε γένη εναντίων· θέσεως άνω κάτω, πρόσθεν όπισθεν· σχήματος γωνία, ευθύ, περιφερές.» Φυσικής Ακροάσεως Α. ε. Τ. Β σ. 254

«Ωστ' ουδ' άνευ ύλης τα τοιαύτα ούτε κατά την ύλην. Και γαρ δη και περί τούτου διχώς απορήσειεν άν τις, επεί δύο αι φύσεις, περί ποτέρας του φυσικού, η περί του εξ αμφοίν· αλλ' ει περί του εξ αμφοίν, και περί εκατέρας. (2) Πότερον ουν της αυτής ή άλλης εκατέραν γνωρίζειν; εις μεν γαρ τους αρχαίους αποβλέψαντι δόξειεν αν είναι άλλης· επί μικρόν γάρ τι μέρος Εμπεδοκλής και Δημόκριτος του είδους και του τι ην ήψαντο.» σ. 263 Β' Κεφ. β.

(3) «Ουκούν τούτο δει δεικνύναι, ότι έστι τι ο αήρ, αλλ' ότι ουκ έστι διάστημα έτερον των σωμάτων, ούτε χωριστόν ούτε ενεργεία ον, ό διαλαμβάνει το παν σώμα, ώστε είναι μη συνεχές, καθάπερ λέγουσι Δημόκριτος και Λεύκιππος και έτεροι πολλοί των φυσιολόγων, η και εί τι έξω του παντός σώματος έστιν όντος συνεχούς. (4) Ούτοι μεν ουν ου κατά θύρας προς το πρόβλημα απαντώσιν» Δ. ς σ. 292

195

Δημόκριτος Λεύκιππος.

ἀλλ' οἱ φάσκοντες εἶναι κενόν. Λέγουσι δ' ἓν μὲν ὅτι ἡ κίνησις ἡ κατὰ τόπον οὐκ ἂν εἴη (αὕτη δ' ἐστὶ φορὰ καὶ αὔξησις), οὐ γὰρ ἂν δοκεῖν εἶναι κίνησιν, εἰ μὴ εἴη κενόν· τὸ γὰρ πλῆρες ἀδύνατον εἶναι δέξασθαί τι· εἰ δὲ δέξαιτο καὶ ἔσται δύο ἐν ταὐτῷ, ἐνδέχοιτ' ἂν καὶ ὁποσαοῦν εἶναι ἅμα σώματα· τὴν γὰρ διαφοράν, δι' ἣν οὐκ ἂν εἴη τὸ λεχθέν, οὐκ ἔχειν δεικνύναι.